αὐτῷ οὐδὲ ὡς πέτρας πτώματι· ὁ δὲ οἶκος Ιακωβ ἐν παγίδι, καὶ
ἐν κοιλάσματι ἐγκαθήμενοι ἐν Ιερουσαλημ. [15]διὰ τοῦτο ἀδυνατή- 15
σουσιν ἐν αὐτοῖς πολλοὶ καὶ πεσοῦνται καὶ συντριβήσονται, καὶ
ἐγγιοῦσιν καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ ὄντες.
[16]Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ 16
μαθεῖν. [17]καὶ ἐρεῖ Μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον 17
αὐτοῦ ἀπὸ τοῦ οἴκου Ιακωβ καὶ πεποιθὼς ἔσομαι ἐπ᾿ αὐτῷ. [18]ἰδοὺ 18
ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός, καὶ ἔσται εἰς σημεῖα καὶ
τέρατα ἐν τῷ οἴκῳ Ισραηλ παρὰ κυρίου σαβαωθ, ὃς κατοικεῖ ἐν
τῷ ὄρει Σιων. [19]καὶ ἐὰν εἴπωσιν πρὸς ὑμᾶς Ζητήσατε τοὺς ἀπὸ 19
τῆς γῆς φωνοῦντας καὶ τοὺς ἐγγαστριμύθους, τοὺς κενολογοῦντας
οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν, οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ; τί ἐκ-
ζητοῦσιν περὶ τῶν ζώντων τοὺς νεκρούς; [20]νόμον γὰρ εἰς βοή- 20
θειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ
ἔστιν δῶρα δοῦναι περὶ αὐτοῦ. [21]καὶ ἥξει ἐφ᾿ ὑμᾶς σκληρὰ λιμός, 21
καὶ ἔσται ὡς ἂν πεινάσητε, λυπηθήσεσθε καὶ κακῶς ἐρεῖτε τὸν
ἄρχοντα καὶ τὰ παταχρα, καὶ ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω
[22]καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται, καὶ ἰδοὺ θλῖψις καὶ στενοχωρία 22
καὶ σκότος, ἀπορία στενὴ καὶ σκότος ὥστε μὴ βλέπειν, [23]καὶ οὐκ 23
ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ.
Τοῦτο πρῶτον ποίει, ταχὺ ποίει, χώρα Ζαβουλων, ἡ γῆ Νεφθαλιμ
ὁδὸν θαλάσσης καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες καὶ
πέραν τοῦ Ιορδάνου, Γαλιλαία τῶν ἐθνῶν, τὰ μέρη τῆς Ιουδαίας.
[1]ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα· οἱ κατοικοῦντες 9
ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ᾿ ὑμᾶς. [2]τὸ πλεῖστον 2
τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται
ἐνώπιόν σου ὡς οἱ εὐφραινόμενοι ἐν ἀμήτῳ καὶ ὃν τρόπον οἱ
διαιρούμενοι σκῦλα. [3]διότι ἀφῄρηται ὁ ζυγὸς ὁ ἐπ᾿ αὐτῶν κείμενος 3
καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν· τὴν γὰρ ῥάβδον τῶν
ἀπαιτούντων διεσκέδασεν κύριος ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιαμ.
[4]ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ καὶ ἱμάτιον μετὰ καταλ- 4

14 αυτω $2^0$ > B*LC* | οι δε οικοι B*LC* || 15 οντες AQ$S^c$*C*] > BS**L* || 16 εσφραγισμενοι SQ | μη > A || 18 εις > B*LC* | οικω BS*LC*] > AQ || 19 απο της γης φων. et εγγαστριμ.] tr. B*LC* | εκ] απο A | αυτου] + εκζητησουσιν B*C* | τι] οτι *L* || 21 παταχρα unus cod. (= aram. פַּתַּכְרָא)] πατρια rel. cf. 37 38 || 22 θλιψις — σκοτος $1^0$ / απορια — σκοτος $2^0$ AQ] tr. B*LC* nec non S, qui και σκοτος post στενη omittit || 23 στενοχ.] pr. τη $S^c$*L* | ων > A† | ποιει $1^0$ uel sim. pau.] πιε rel. | οδον θαλασσης AQ$S^c$] > BS**LC* | παραλιον SA† | κατοικουντες AQ$S^c$] > BS**LC* | τα μερη της ιουδαιας > B*LC*, sed *L* τα μερη της γαλιλαιας pro γαλιλαια

9 1 πορευομ.] καθημενος A | ιδετε] ειδεν $S^c$*LC* | και σκια AQ$S^c$*C*] σκια BS* σκιας *L* || 2 ον τροπον] + ευφραινονται SA || 3 αφηρηται] αφαιρεθησεται AQ | απαιτ.] απειθουντων $S^c$*L* | κυριος > B*LC*